# *ΤΟΞΑΡΙΣ Η ΦΙΛΙΑ*

*ΜΝΗΣΙΠΠΟΣ.* Τί φῄς, ὦ Τόξαρι; θύετε Ὀρέστῃ καὶ 1
Πυλάδῃ ὑμεῖς οἱ Σκύθαι καὶ θεοὺς εἶναι πεπιστεύκατε αὐτούς;

*ΤΟΞΑΡΙΣ.* Θύομεν, ὦ Μνήσιππε, θύομεν, οὐ μὴν θεούς γε οἰόμενοι εἶναι, ἀλλὰ ἄνδρας ἀγαθούς.

*ΜΝΗΣ.* Νόμος δὲ ὑμῖν καὶ ἀνδράσιν ἀγαθοῖς ἀποθανοῦσι θύειν ὥσπερ θεοῖς;

*ΤΟΞ.* Οὐ μόνον, ἀλλὰ καὶ ἑορταῖς καὶ πανηγύρεσι τιμῶμεν αὐτούς.

*ΜΝΗΣ.* Τί θηρώμενοι παρ᾽ αὐτῶν; οὐ γὰρ δὴ ἐπ᾽ εὐμενείᾳ θύετε αὐτοῖς, νεκροῖς γε οὖσιν.

*ΤΟΞ.* Οὐ χεῖρον μὲν ἴσως, εἰ καὶ οἱ νεκροὶ ἡμῖν εὐμενεῖς εἶεν· οὐ μὴν ἀλλὰ καὶ πρὸς τοὺς ζῶντας ἄμεινον οἰόμεθα πράξειν μεμνημένοι τῶν ἀρίστων καὶ τιμῶντες ἀποθανόντας· ἡγούμεθα γὰρ οὕτως ἂν ἡμῖν πολλοὺς ὁμοίους αὐτοῖς ἐθελῆσαι γενέσθαι.

*ΜΝΗΣ.* Ἀλλὰ ταῦτα μὲν ὀρθῶς γιγνώσκετε. Ὀρέστην 2
δὲ καὶ Πυλάδην τίνος μάλιστα θαυμάσαντες ἰσοθέους ἐποιήσασθε, καὶ ταῦτα ἐπήλυδας ὑμῖν ὄντας καὶ τὸ μέγιστον πολεμίους; οἵ γε, ἐπεὶ σφᾶς ναυαγίᾳ περιπεσόντας οἱ τότε Σκύθαι συλλαβόντες ἀπῆγον ὡς τῇ Ἀρτέμιδι καταθύσοντες, ἐπιθέμενοι τοῖς δεσμοφύλαξι καὶ τῆς φρουρᾶς ἐπικρατήσαντες τόν τε βασιλέα κτείνουσι καὶ τὴν ἱέρειαν παραλαβόντες, ἀλλὰ καὶ τὴν Ἄρτεμιν αὐτὴν ἀποσυλήσαντες ᾤχοντο ἀποπλέοντες, καταγελάσαντες τοῦ κοινοῦ τῶν Σκυθῶν. ὥστε εἰ διὰ ταῦτα τιμᾶτε τοὺς ἄνδρας, οὐκ ἂν φθάνοιτε πολλοὺς ὁμοίους αὐτοῖς